*λευκώλενε Καλλιόπα,*
*στᾶσον εὐποίητον ἅρμα*
*αὐτοῦ· Δία τε Κ'ρονίδαν*
*ὕμνησον Ὀλύμπιον ἀρχαγὸν θεῶν,*
*τόν τ' ἀκαμαντορόαν*
*Ἀλφεόν, Πέλοπός τε βίαν,*
*καὶ Πίσαν, ἔνθ' ὁ κ'λεεννὸς*
*ποσσὶ νικάσας δρόμωι*
*ἦλθ]εν Φερένικος ⟨ἐς⟩ εὐπύργους Συρακόσ-*
*σας Ἱέρωνι φέρων*
*εὐδ]α̣ιμονίας πέταλον.*
*χρὴ] δ' ἀλαθείας χάριν*
col 16 (12) *αἰνεῖν, φθόνον ἀμφ[οτέραισιν*
*χερσὶν ἀπωσάμενον,*
*εἴ τις εὖ πράσσοι βροτῶν.*
*Βοιωτὸς ἀνὴρ τᾶδε φών[ησεν, γλυκειᾶν*
*Ἡσίοδος πρόπολος*
*Μουσᾶν, ὃν ⟨ἂν⟩ ἀθάνατοι τι[μῶσι, τούτωι*
*καὶ βροτῶν φήμαν ἕπ[εσθαι.*
*πείθομαι εὐμαρέως*
*εὐκλέα κελεύθου γλῶσσαν οὐ̣[‒‒⏑‒*
*πέμπειν Ἱέρωνι· τόθεν γὰρ*